# FRAGMENTA

## *I. ΑΠΟΛΟΓΙΣΜΟΣ ΩΝ ΠΕΠΟΛΙΤΕΥΤΑΙ*

### TESTIMONIA

[Plut.] Vit. X orat. 842f: *μέλλων δὲ τελευτήσειν, εἰς τὸ μητρῷον καὶ τὸ βουλευτήριον ἐκέλευσεν αὑτὸν κομισθῆναι, βουλόμενος εὐθύνας δοῦναι τῶν πεπολιτευμένων· οὐδενὸς δὲ κατηγορῆσαι τολμήσαντος πλὴν Μενεσαίχμου, τὰς διαβολὰς ἀπολυσάμενος εἰς τὴν οἰκίαν ἀπεκομίσθη κτέ.*

### FRAGMENTA

**1.** Harpocr. s. v. *δερματικόν· Λ. ἐν τῷ ἐπιγραφομένῳ* 1 Bl. *Ἀπολογισμὸς ὧν πεπολίτευται. δερματικὸν ἂν εἴη λέγων ὁ ῥήτωρ τὸ ἐκ τῶν δερματίων τῶν πιπρασκομένων περιγιγνόμενον ἀργύριον.*

**2.** Harpocr. s. v. *ἑδωλιάσαι· Λ. ἐν τῷ ἐπιγραφομένῳ* 2 *Ἀπολογισμὸς ὧν πεπολίτευται ἐπὶ τοῦ συγκαθίσαι. καὶ ἑδώλια αἱ ἐν ταῖς ναυσὶ καθέδραι. Ἡρόδοτος α′* (1, 24).



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404556388/97 UNIVERSITÄT LEIPZIG